ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΔΗΜΟΥ

## ΤΟΥ ΒΕΡΡΟΙΕΩΣ

ΚΑΙ ΕΝ Τῌ ΙΕΡᾼ ΜΟΝῌ ΦΙΛΟΚΑΛΛΟΥΣ
ΑΣΚΗΣΑΝΤΟΣ

Ταύτῃ προσετέθησαν ὁ Παρακλητικὸς Κανὼν καὶ οἱ εἰκοσιτέσσαρες οἶκοι, ἤτοι Χαιρετισμοὶ εἰς τὸν Ὅσιον

Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει
προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Βερροίας
κ.κ. Παύλου

ΕΚΔΟΣΕΙΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ Ἀρ. 25
ΒΕΡΡΟΙΑ 1991

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΔΗΜΟΥ

## ΤΟΥ ΒΕΡΡΟΙΕΩΣ

ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

ΚΑΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΩΝ ΟΙΚΩΝ

## ΕΚΔΟΣΕΙΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΒΕΡΟΙΑΣ

1. Γ. Χ. Χιονίδη: Ἀνέκδοτος ἀκολουθία τοῦ Νεομάρτυρος Ἀρσενίου, Μητροπολίτου Βεροίας, 1971.
2. Π. Πυρινού: Βίος και Ἀκολουθία τοῦ Ἁγίου Σωσιπάτρου, 1973.
3. Βῆμα Ἀποστόλου Παύλου, 1974.
4. Π. Πυρινοῦ: Ἀνέκδοτα ἔγγραφα ἀφορῶντα εἰς τὰς Ἱερὰς Μονὰς Τιμίου Προδρόμου (Σκήτη Βεροίας) καὶ Μουτσάλης, 1975.
5. Παν. Παπαευαγγέλου: Μεταβυζαντινὸς Ναὸς Ἁγ. Δημητρίου Παλατιτσίων Βεροίας, 1976.
6. Β. Νικολαΐδου: Στὶς πηγὲς τῆς χαρᾶς, 1980.
7. Χρυσ. Κακουλίδη: Ἐλεύθερα Πνευματικά θέματα, 1980.
8. Ἀκολουθία τοῦ Ἁγ. Σωσιπάτρου, 1978.
9. Ἀκολουθία του Ἁγ. Ἀρσενίου, 1978.
10. Ἀκολουθία τοῦ Ἁγίου Ἀντωνίου, 1980.
11. Ἀκολουθία τοῦ Ἁγ. Θεοφάνους, 1980.
12. Ἀκολουθία τοῦ Ἁγ. Ἀθανασίου τοῦ ἐκ Πύργου (Κουλιακιᾶς), 1980.
13. Ἀκολουθία τῆς Ἁγ. Ἱερουσαλὴμ καὶ τῶν τέκνων της, 1980.
14. Παρακλητικὸς Κανὼν τοῦ Ἁγ. Ἀντωνίου τοῦ Νέου, 1980.

14β. Βῆμα Ἀποστόλου Παύλου Β΄ ἔκδοσις.

15. Μακεδ. Παπαδοπούλου: Θέματα Ὀρθόδοξης Χριστιανικῆς Οἰκοδομῆς, 1982.
16. Ἀκολουθία τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων τῶν ἐν τῇ Σκήτῃ Βεροίας διαλαμψάντων, 1983.
17. Ἀκολουθία τῶν ἐν Βεροίᾳ Ἁγίων ψαλλομένη ἐπὶ τῇ ἀπελευθερώσει τῆς πόλεως, 1983.
18. Π. Πυρινοῦ: Ἡ συμβολὴ τῆς Μητροπόλεως Βεροίας στην Παιδεία κατὰ τὸν 19ο αἰώνα, 1983.
19. Π. Παπαευαγγέλου: Βεταβυζαντινὸς Ναὸς τοῦ Ἁγ. Ἀθανασίου εἰς τὸ Ντουρμάνη Βεροίας, 1983.
20. Στεφάνου Κισιώτη: Ὁδοιπορικὸ στὴ Μεγάλη Ἑβδομάδα, 1984.
21. Ἀκολουθία τοῦ Ἁγ. Ἀντωνίου τοῦ Νέου, Β΄ ἔκδοσις.
22. Π. Πυρινοῦ: Τα Σχολεῖα τῆς Βέροιας (1901 - 1912) καὶ ἡ Ἱερατικὴ Σχολὴ Τιμ. Προδρόμου (1909 - 1915).
23. Μακεδ. Παπαδοπούλου: Γιὰ Ὀρθόδοξη Χριστιανικὴ Λατρεία, 1990.
24. Ἀκολουθία τοῦ Ἁγ. Νικοδήμου τοῦ Βεροιέως, 1991.

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΔΗΜΟΥ

ΤΟΥ ΒΕΡΡΟΙΕΩΣ
ΚΑΙ ΕΝ Τῌ ΙΕΡᾼ ΜΟΝῌ ΦΙΛΟΚΑΛΛΟΥΣ
ΑΣΚΗΣΑΝΤΟΣ

Ταύτῃ προσετέθησαν ὁ Παρακλητικὸς Κανὼν καὶ οἱ εἰκοσιτέσσαρες οἶκοι, ἤτοι Χαιρετισμοὶ εἰς τὸν Ὅσιον

Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει
προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Βερροίας
κ.κ. Παύλου


Ὁ ἍΓ
ΝΙΚΟΔΗ
ΜΟΣ
ὁ
Νέος

# *ΠΡΟΛΟΓΟΣ*

*Ἡ Ἀποστολικὴ Ἐκκλησία Βερροίας σεμνύνεται καὶ καυχᾶται, διότι ἔχει νὰ ἐπιδείξῃ χορείαν ἁγίων τοῦ Χριστοῦ, οἵτινες ὡς ἀστέρες πάμφωτοι καταλάμπουσιν ἐν τῷ νοητῷ στερεώματι τῆς Ἁγίας Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας. Μετὰ βαθυτάτης εὐσεβείας κλίνομεν τὰ γόνατα τῆς ψυχῆς καὶ τοῦ σώματος πρὸ τῆς Ἁγίας μορφῆς τοῦ Ὁσίου Νικοδήμου τοῦ διὰ Χριστὸν Σαλοῦ, τοῦ κοιμηθέντος ἐν τῇ Μονῇ τοῦ Φιλοκάλλους τὴν εὑρισκομένην ἐν τῇ πόλει τοῦ Μυροβλύτου Ἁγίου Δημητρίου, τὴν Θεσσαλονίκην, ἐπικαλούμενοι τὴν εὐλογίαν καὶ προστασίαν του. Ἀγάλλεται δὲ καὶ χαίρει ἡ γενέτειρά του Βέρροια, διότι ἔχει τοιοῦτον φρουρὸν καὶ προστάτην.*

*Ὁ Ὅσιος Νικόδημος ὁ Νέος ὁ διὰ Χριστὸν Σαλὸς ἦτο ἄγνωστος εἰς ἡμᾶς. Τὸ ἔναυσμα τῆς παρουσιάσεώς του εἰς τὸ χριστεπώνυμον πλήρωμα τῆς Θεοσώστου ἐπαρχίας ἡμῶν ὀφείλεται εἰς τυχαῖον γεγονός.*

*Ὅταν ἀνεγνώσαμεν, πρῶτον εἰς τὴν Ἐπιστημονικὴν Ἐπετηρίδα τῆς Θεολογικῆς Σχολῆς τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης, τόμος 26 τοῦ 1981, Ι΄ σελ. 84 - 100. «Τὸ ὑπόμνημα τοῦ Φιλοθέου Κοκκίνου στὸν Ὅσιο Νικόδημο τὸ Νέο» παρουσιαζόμενον ὑπὸ τοῦ Καθηγητοῦ Δημ. Γ. Τσάμη. Ἐπίσης δεύτερον εἰς τὸ Ἀνάτυπον ἐκ τοῦ ΚΒ΄ τόμου τῶν «ΜΑΚΕΔΟΝΙΚΩΝ», τοῦ Βερροιώτου Ἱστορικοῦ καὶ Δικηγόρου κ. Γεωργίου Χιονίδη, ὅπου παρουσιάζει τὸν Ὅσιον μὲ τίτλον· «Ὁ Βεροιώτης μοναχὸς καὶ Ὅσιος Νικόδημος ὁ Νέος τῆς Θεσσαλονίκης (13ος - 14ος αἰὼν) καὶ τὰ σχετικὰ Προβλήματα», Θεσσαλονίκη 1982. Ἀλλὰ καὶ τρίτον εἰς τὸ Ἁγιορείτικον περιοδικὸν «ΠΡΩΤΑΤΟΝ» Μηνῶν Ὀκτωβρίου - Δεκεμβρίου 1983, ἀριθ. 7, σελ. 133 - 137, ὅπου πα-*

ρουσιάζεται ὑπὸ τοῦ Ἱερομ. Ἰουστίνου Σιμωνοπετρίτη, «Τοιχογραφία τοῦ Ὁσίου Νικοδήμου τοῦ ἐν Θεσσαλονίκη στὸ Καθολικὸ τῆς μονῆς Χιλανδαρίου». Ὅλα λοιπὸν τὰ ἀνωτέρω ὡς καὶ τὴν Βιβλιογραφίαν τοῦ Ὁσίου Νικοδήμου τοῦ Νέου, τὴν ὁποίαν συνέταξεν ὁ Οἰκουμενικὸς Πατριάρχης Φιλόθεος ὁ Κόκκινος, ὡς Ἡγούμενος τῆς Ἱερᾶς Μονῆς τοῦ Φιλοκάλλους, ἔλαβον ὑπ᾽ ὄψιν των οἱ πατέρες ὑμνογράφοι καὶ ἐποίησαν τὴν Ἀκολουθίαν αὐτοῦ.

Ὁ σκοπὸς τῆς παρούσης ἐκδόσεως τῆς Ἀκολουθίας τοῦ Ὁσίου πατρὸς ἡμῶν Νικοδήμου τοῦ διὰ Χριστὸν Σαλοῦ, εἶναι διττός: πρῶτον ἡ ὀφειλομένη τιμὴ πρὸς τὸν Ὅσιον καὶ ἡ δόξα τοῦ Χριστοῦ καὶ δεύτερον ἡ ἀναζωπύρωσις τοῦ φρονήματος τῶν εὐσεβῶν χριστιανῶν τῆς Μητροπολιτικῆς ἡμῶν Περιφερείας.

Εὐχαριστίας ἐκφράζομεν εἰς τοὺς δοκίμους ὑμνογράφους, Ἱερομ. Ἀθανάσιον Σιμωνοπετρίτην καὶ Μοναχὸν Πορφύριον Σιμωνοπετρίτην, οἵτινες τῇ εὐλογίᾳ τοῦ Καθηγουμένου τῆς Μονῆς τῆς μετανοίας των Ἀρχιμ. Αἰμιλιανοῦ, συνέταξαν τὴν Ἀκολουθίαν τοῦ Ὁσίου.

Ὅθεν προσφέροντες τὴν παροῦσαν Ἀκολουθίαν εἰς τὸ εὐσεβὲς καὶ ἀγαπητὸν ἡμῶν ποίμνιον καὶ εἰς πάντα εὐσεβῆ, ἐπικαλούμεθα ἐπ᾽ αὐτοὺς τὴν Χάριν καὶ τὴν εὐλογίαν τοῦ Κυρίου, διὰ πρεσβειῶν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικοδήμου τοῦ Νέου, τοῦ διὰ Χριστὸν Σαλοῦ.

Ἔγραφον ἐν τῷ Ἱερῷ Ἐπισκοπείῳ Βερροίας τὴν 17ην Ἰανουαρίου 1991 ἑορτὴν τοῦ Πολιούχου Ὁσίου Ἀντωνίου τοῦ Νέου.

† Ὁ Βερροίας, Καμπανίας καὶ Ναούσης

ΠΑΥΛΟΣ

Νοεμβρίου ΚΔ΄
Μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου
Πατρὸς ἡμῶν

# ΝΙΚΟΔΗΜΟΥ
## ΤΟΥ ΝΕΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ
τοῦ ἐκ Βερροίας

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Νικητικὰ στέφη Πάτερ, παρὰ Κυρίου λαβών, δέχου καὶ ἐκ πηλίνων, τὴν φαιδρὰν ὑμνῳδίαν, ἐξίσταται γὰρ ἅπας ξένην ζωήν, ἀγωγήν τε ἰσάγγελον, ἐν τῷ σῷ βίῳ Νικόδημε μελετῶν, καὶ ἀγάπην τὴν ὑπέρλογον.

Ἱερωτάτην προκρίνας, τῆς χαμαιζήλου ζωήν, φλεχθείς τῆς τοῦ Κυρίου, ἀγαπήσεως πόθῳ, ὡς σκύβαλα ἡγήσω τὰ κάτω σοφέ, ἵνα τύχῃς ἐφέσεως, καὶ ὑπερβὰς τὴν συνήθη διαγωγήν, νῦν ἀγγέλοις συμπαρίστασαι.

Καινοφανής σου ὁ βίος, πάτερ Νικόδημε, σκάνδαλον τοῖς ὁρῶσι, πεζοτρόπως τὰ ἤθη, τοῖς ὅσοι δὲ καθάρσει βιοῦσι φαιδρά, ὑποτύπωσις γίνεται, ἵνα τὰς τρίβους ποιῶνται ἁγνοπρεπῶς, καὶ Χριστῷ εὐαρεστήσωσιν.

Οὐ τὴν συνήθη βαδίσας, θεῖε Νικόδημε, δέχῃ καὶ τὰ βραβεῖα, οὐ συνήθη σῶν πόνων, διὸ τὴν παρρησίαν ἔχων πολλήν, ὑπερεύχου μακάριε, τῶν γεραιρόντων σου μνήμην θαυμαστικῶς, καὶ ποθούντων τὴν σὴν μίμησιν.

Δόξα. Ἦχος δ΄.

Τὸ τιμαλφέστατον βλάστημα Βερροίας, καὶ Θεσσαλονίκης εὐωδέστατον ἐγκαλλώπισμα, τὸν πράξει βεβαιώσαντα τὴν κλῆσιν ἑαυτοῦ, τῇ Χάριτι Χριστοῦ, Νικόδημον τιμήσωμεν. Καινοφανῶς γὰρ καὶ ξενοτρόπως βιώσας, πᾶσι γέγονεν ὁδηγὸς θεοφιλοῦς ταπεινώσεως, ὅπως τὸν ἔσω ἄνθρωπον κρυπτῶς ἐν θεῷ αὐξάνωμεν. Αὐτοῦ ταῖς παρακλήσεσι, σῶσον Κύριε τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων....

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε χαρμονικῶς, τὴν μνήμην Νικοδήμου, τελοῦντες τῷ Δεσπότῃ, προσοίσωμεν τὸν ὕμνον, τῷ τοῦτον Θαυμαστώσαντι.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Ἤνοικται ἡ Ἐδέμ, σοὶ Πάτερ θεοφόρε, εἰ καὶ ἐκτὸς τῆς θύρας, Μονῆς σου τῷ Κυρίῳ, ἁγνοπρεπῶς κεκοίμησαι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Μύρων ῥοαῖς Χριστός, ἐδόξασέ σε Πάτερ, ἀντὶ ἀδίκων ψόγων, οἷς ζῶν ἐναπεπλύθης, παρὰ κριτῶν ἀδίκων σου.

Δόξα. Ὅμοιον.

Ὤκιστα ὦ Τριάς, καλεῖς πρὸς Σὲ τοὺς ὅσοι, ἀπάνθισμα ὁρῶνται, φύσεως ἀνθρωπίνης, ὡς τὸν κλεινὸν Νικόδημον.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἄχραντε Μαριάμ, κειμήλιον ἁγνείας, καὶ δόξα φιλοάγνων, σὺν θείῳ Νικοδήμῳ, ὑπὲρ λαοῦ σου πρέσβευε.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.

Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Νίκην ἐνίκησας, πάτερ Νικόδημε, σαρκὸς τὸ φρόνημα, καθυποτάξας σου, καὶ τῇ ἀγάπῃ συγκραθείς, τῶν ἄνω μόνον ἐπόθεις. Ὅθεν σε γινώσκοντες, ἀπαθείας ὑπόδειγμα, θῦμα θεοπόθητον, μυστικῶς τε βιώσαντα, σὺν πόθῳ ἐκβοῶμεν τρισμάκαρ, χαῖρε Βερροίας μέγα κλέος.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Βερροίας τὸν γόνον καὶ Φιλοκάλλους καρπόν, ἀνυμνήσωμεν πόθῳ, θεῖον Νικόδημον, φιλαδελφίας γὰρ πυρὶ ὑποκαιόμενος, βίον παράδοξον δεικνύς, δι᾽ ἐπιπλάστου ἀγωγῆς, ἀδίκως ἐσφαγιάσθη, καὶ νῦν θεῷ ἡνωμένος, χαίρει αἰώνια.

Τῆς ἑορτῆς. Ἀπολυτίκιον
Ἦχος δ΄.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Καὶ ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα
Ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Πόθῳ εὐφημιῶν συνέχομαι, ἀπορῶ δὲ θεοφόρε Πάτερ, βίον σου ὁρῶν τὸν παράδοξον, καὶ ἐξηλλαγμένον Νικόδημε. Σὺ γὰρ δίκαιε ὑπερανέβης, ἐν τόπῳ, ὅπου οἱ δῆμοι χορεύουσιν, ἀγγέλων, ἔνθεν τῷ Χριστῷ μεμαθήτευσαι, τὸ ὑπὲρ τῶν ἄλλων τεθνάναι, καὶ θεῷ ἀρέσκειν, παρ᾽ οὗ καὶ δικαίως εἴληφας, στέφη δύο, τοῦ ὁσίου τε καὶ μάρτυρος.

Τέρπεις, ἐνεγκαμένην σε Βέρροιαν, ἀποδοὺς αὐτῇ τὸ χρέος ξένως, καὶ Θεσσαλονίκην ξενίσασαν, κατευφραίνεις μύρου τοῖς ρεύμασι· τρίτον γὰρ σε εὗρε μυροβλύτην. Εἰ Πάτερ, καὶ τοῦ σοῦ τάφου ἐστέρηται, πλουτεῖ σε, ἐν Παραδείσῳ πρέσβυν μέγιστον, πρὸς τὸν Χριστὸν τὸ πρῶτον Μύρον, Ὦ, Νικόδημε πρόσπεσον, ἵνα παράσχῃ ἡμῖν τὸ μέγα ἔλεος.

Κρύψας, τὸ τοῦ Χριστοῦ σου τάλαντον, ἐν ψυχῆς τῷ θυλακίῳ μάκαρ, τοῦτο ἑκατονταπλάσιον, ἤνεγκας φρονίμως τῷ τέλει σου. Σπουδάζων, διὰ παντὸς τὸ εὐάρεστον, Κυρίῳ, κρύπτειν ἐφίλεις ἤπερ φαίνεσθαι, ὁ γὰρ παντέφορος οἶδε, τὰ κρυπτὰ καὶ ἥδεται, καὶ γὰρ Οὗτος ὁ σαρκωθείς, Χριστὸς ὁ Θεὸς ἡμῶν, κρυπτοτρόπως, τὸν ἐχθρὸν κατήργησεν.

Ἕτερα, ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Παίζων Πάτερ ἐνέπαιξας, τὸν τὸ γένος ἐμπαίξαντα, ὄφιν δολιώτατον, τῇ σαλότητι, ἥν περ ἐν γνώσει ἀνείληφας, ὡς δρόμον εὐσύντομον, ὁδηγοῦντα σε θεῷ, καὶ καλύπτων τὰ ἆθλα σου, ἅπερ ἔπραττες, ὅθεν μέγα γενόμενος δοχεῖον, ἀπαθείας ἀκροτάτης, τῷ ἀπαθεῖ προσωμίλησας.

Ἐν πελάγει νηξάμενος, τῆς θεοῦ ἀγαπήσεως, τῷ πλησίον γνήσιον συνεπάθησας, διὸ Χριστὸν ἐκμιμούμενος, ψυχήν σου Νικόδημε, ἑκουσίως καὶ γνωστῶς, ὡς θυσίαν προσήνεγκας, ἵνα τύχωσι, σωτηρίας ψυχαὶ μεμακρυσμέναι, τῆς ζωῆς τῷ ἐρεβώδει, σκότει τυφλώττουσαι Ὅσιε.

Σὺ Χριστῷ μὲν Νικόδημε, σεαυτὸν προσενήνοχας, λογικὸν ὡς σφάγιον, δι᾽ ἀσκήσεως, καὶ γλυκανθεὶς ταῖς ἐλλάμψεσι, φωτὸς Αὐτοῦ ἔγνωκας, ὅτι ἅπαντα οὐδέν, τὰ φθειρόμενα πέφυκεν, ὅθεν Κύριος, ἀνταπέδωκε Πάτερ τὸν μισθόν σοι, ἑκουσίας εὐτελείας, καὶ φιλοψύχου θυσίας σου.

Δόξα. Ἦχος πλ. β΄.

Γένους φθειρομένου περιφάνειαν, ὡς οὐδὲν λογισάμενος, ἠρετίσω μονοτρόπων ἀγωγήν, Πάτερ Νικόδημε. Ὅθεν τὸν σταυρόν σου ἀράμενος, διὰ πασῶν τῶν ἀρετῶν, θεῷ προσωμίλησας. Μελετῶν δὲ καθ᾽ ἑκάστην τῆς ταπεινώσεως Αὐτοῦ τὸ μέγεθος, ἐξελέξω σεαυτῷ, τὸν δρόμον τῆς κρυφιομύστου σαλότητος. Καὶ τὴν τῶν ἀδελφῶν σου σωτηρίαν ὡς ἰδίαν ποθήσας, ὑπὲρ αὐτῶν θαυμαστῶς ὡλοκαυτώθης. Παρὰ Κυρίου δὲ δοξασθεὶς μυρορρόα, ἔκχεε ψεκάδας δροσοβόλους, τοῖς τιμῶσι σε τρισόλβιε.

Καὶ νῦν. Τῆς ἑορτῆς Ἦχος πλ. β΄.

Σήμερον τὰ στίφη τῶν Πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὴν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν· τὴν προεκλεχθεῖσαν ἐκ τῶν πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ Παντάνακτος Χριστοῦ καὶ Θεοῦ τῶν ὅλων. Παρθένοι, λαμπαδηφοροῦσαι προπο-

ρεύεσθε, τῆς ἀειπαρθένου τιμῶσαι, τὴν σεβάσμιον πρόοδον. Μητέρες, λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, ὑμνοῦσαι τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν, τῇ Κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον καὶ Ἀναγνώσματα.
Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς

λαῖλαψ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομίαν καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ Ἰδιόμελα.
Ἦχος α΄.

Ἀγάλλεσθε συμφώνως Βέρροια καὶ Θεσσαλονίκη, ᾄδουσαι χαρμοσύνως, ἐπὶ μνήμῃ τοῦ μακαρίου Νικοδήμου. Κοινὸν ἔχουσαι τὸν νυμφαγωγὸν ὑμῶν εἰς Χριστόν, τὸν θεοκήρυκα Παῦλον, κοινὴν ἐπλουτήσατε καὶ τὴν πνευματικὴν ἐκ τούτου καρπογονίαν. Μόνῳ τῷ Κυρίῳ ζῶν γὰρ ὁ Ὅσιος, τὰ πάθη κατεδουλώσατο τῇ ἀκροτάτῃ ἀπαθείᾳ, δι᾽ ἧς Αὐτῷ ἡνώθη καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Δεῦτε πάντες οἱ φιλόαγνοι, δεῦτε καὶ ἴδετε ἄγγελον ἐν σώματι ἐν γῇ περιπολεύοντα, καὶ τῇ ἐμπαικτικῇ μωρίᾳ τὸν παμπόνηρον ἐχθρὸν ἀνούστατον δείξαντα. Πολλὰς δὲ ψυχὰς ἐκ τῶν μυλῶν αὐτοῦ ἐκσπάσαντα, καὶ τῇ καθαρτικῇ μετανοίᾳ, τῷ Χριστῷ συνάψαντα, ᾧ καὶ κράζει σφαττόμενος· δι᾽ ἀγάπην σου Δέσποτα, δέχου καρπούς τῶν χειρῶν μου, τὰς ἀποπλυθείσας εἰκόνας σου καὶ τὸ αἷμα μου συνάγαγεν ἐν τῇ Βασιλείᾳ σου.

Ἦχος γ΄.

Ἀγαθὸν ἀνδρί, ὅταν ἄρῃ ἐκ νεότητος ἐπ᾽ ὤμων τὸν ζυγὸν τοῦ Κυρίου. Κράτιστον δὲ πέφυκεν, ἡ διὰ τῆς τοιαύτης ἄρσεως

πολλῶν ἑτέρων προσγινομένη σωτηρία. Οὕτω γὰρ πολιτευσάμενος ὁ σοφώτατος Νικόδημος, τῇ πεπλασμένῃ ὑποδύσει τῆς ἁμαρτίας, ἐκ βρόχων διαβόλου ἀνήρπασεν ψυχὰς θεοπλάστους. Καὶ τῷ ὁσίῳ Βιταλίῳ στοιχῶν, διὰ τῆς φαινομένης δουλοπαθείας, τὴν ἀπάθειαν θαυμαστῶς καταπείθων ἐνεφύτευεν. Ὅθεν ἅπαντες βοήσωμεν· κάθαρον εὐχαῖς σου Ἅγιε, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Δόξα. Ἦχος πλ. α΄.

Κρυφιοπράττης πάτερ Νικόδημε, ἐν αἰσθήσει γεγονώς, μείζονος τῆς εὐκλείας, πρὸς θεοῦ τετύχηκας. Ἔχων γὰρ πρὸ ὀφθαλμῶν σου διηνεκῶς τὸν τῆς ἀγάπης φόβον, ὡς ἄλλοι φιλοῦσι τὰς φθειρομένας ἡδονάς, σὺ τοὺς θείους πόνους τῆς ἀρετῆς προσωκειώθης. Καὶ τὸ παραρριπτεῖσθαι ἐν οἴκῳ Κυρίου προελόμενος, τῇ οἰκονομικῇ ἀδιαφορίᾳ, τὸν πλοῦτον τῆς ψυχῆς σου, ἄσυλον ἐτήρησας. Ὅθεν ἀρέσας τῷ θεῷ ὑπερφυῶς, νῦν συναγάλλῃ Αὐτῷ καὶ πρεσβεύεις ἀδιαλείπτως, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς ἑορτῆς
Ἦχος πλ. α΄.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος. Σήμερον γὰρ ἡ πρὸ τόκου Παρθένος, καὶ μετὰ τὸκον Παρθένος μείνασα, ἐν ναῷ ἁγίῳ προσάγεται· καὶ χαίρει Ζαχαρίας ὁ πρέσβυς, ὁ γενέτης τοῦ Προδρόμου, καὶ βοᾷ γηθοσύνως· Ἤγγικεν ἡ προσδοκία τῶν θλιβομένων, ἐν ναῷ ἁγίῳ ὡς ἁγία, ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος. Εὐφραινέσθω Ἰωακεὶμ ὁ προπάτωρ, καὶ ἡ Ἄννα ἀγαλλιάσθω, ὅτι προσήνεγκαν Θεῷ, ὡς τριετίζουσαν δάμαλιν, τὴν ἄμωμον Δέσποιναν. Μητέρες συγχάρητε, παρθένοι σκιρτήσατε, καὶ στεῖραι συγχορεύσατε· ὅτι ἠνέῳξεν ἡμῖν τὴν οὐρανῶν βασιλεία, ἡ προορισθεῖσα παντάνασσα. Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ τῆς Βερροίας καρπός, Θεσσαλονίκης τὸ μυρίπνουν ἐντρύφημα, Νικόδημε θεοφόρε, τῆς Φιλοκάλλους Μονῆς, τὸ τερπνὸν καὶ θεῖον ἐγκαλλώπισμα, τοῦ μύρου ὁ μέτοχος, θησαυρὸς ταπεινώσεως, φιλαδελφίας, ὁ ἐργάτης ὁ ἄριστος, καὶ ἀσκήσεως, τῆς κρυπτῆς μύστης ἄριστος. Ὅθεν σου τὴν πανίερον, τιμῶντες πανήγυριν, καθικετεύομεν Πάτερ, βίου ἡμᾶς καταξίωσον, θεῷ εὐαρέστου, καὶ τυχεῖν τῆς ἄνω δόξης, εὐχαῖς ἁγίαις σου.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ πρόσεσχέ μοι.

Χαίροις, νίκην νικήσας κλεινήν, περιφανέστατε καὶ θεῖε Νικόδημε, ἐχθροῦ νοητοῦ καθεῖλες, τὴν ἐπηρμένην ὀφρύν, ὅταν γὰρ ἐκεῖνος ὑπελάμβανεν, παγίσι κατέχειν σε, ἁμαρτίας τρισόλβιε, τότε πανσόφως, σὺ ψυχὰς ἀπεκάθηρας, ἔχων ἔνδοθεν, τὸν Χριστόν ὑποφήτην σου, Ὃν καὶ ἐν τῷ θανάτῳ σου, μιμούμενος ἔξωθεν, πύλης Μονῆς σου ὁσίως, ψυχὴν Αὐτῷ παραδέδωκας, Ὦ πρέσβευε πάτερ, καταπέμψαι ὑμνηταῖς σου, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις, ὑπομονῆς θησαυρός, καὶ καρτερίας τεῖχος ἄρρηκτον Ὅσιε, τῆς θείας ἀγάπης ἄκρος, καὶ ἐντελὴς πληρωτής, τῆς ἁγνείας θεία ὑποτύπωσις, Νικόδημε τίμιε, πάντας ἐκπλήττει ὁ βίος

σου, συμμοναστάς σου, ὥσπερ τότε ἐξέπληττε, θεωροῦντας σου τὴν παράδοξον ἄσκησιν. Πάτερ ὡς παίζων πέπαιχας, ἐχθρὸν τὸν παμπόνηρον, τῇ ἐπιπλάστῳ μωρίᾳ, οὕτως ἡμᾶς καταξίωσον, παγίδας συντρίβειν, διαβόλου σαῖς πρεσβείας, ἀειμακάριστε.

Δόξα. Ἦχος πλ. δ΄.

Οὐδὲν ἀγάπης μεῖζον, τῆς πρὸς θεὸν καὶ πλησίον πέφυκε. Ἧσπερ ὁ θεῖος Νικόδημος πλήρης γεγονὼς καὶ κατ᾽ ἐπίφασιν μωρίαν ἐπαινετὴν ἠσκηκώς, τὸν παλαμναῖον δράκοντα διέδρα λάθρα βιώσας. Διὸ πάντα κατασκυβαλίσας, πέφθακε Χριστῷ, τῷ δωρουμένῳ πληθὺν χαρίτων, τοῖς μιμούμένοις Αὐτοῦ τὸ φιλάνθρωπον.

Καὶ νῦν. Τῆς ἑορτῆς.
Ἦχος πλ. δ΄.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὡς ἡγιασμένη. Τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. Τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε ἀμόλυντε, ἡ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῶζε τὸ γένος ἡμῶν.

Νῦν ἀπολύεις κλπ. Ἀπολυτίκια, ὡς ἐν τῷ Μικρῷ ἑσπερινῷ.

Καὶ Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´ στιχολογίαν. Κάθισμα. Ἦχος α´.
Τὸν τάφον σου Σωτήρ.

Ἡ μνήμη σου φαιδρῶς, συνεκάλεσε πάντας κηρύττουσα λαμπρῶς, τὴν ἀγάπην ἣν ἔσχες, Νικόδημε ὅσιε, πρὸς Θεὸν καὶ τὸν πέλας σοι, καὶ πῶς ἔλαθες, τὸν πτερνιστὴν τὸν ἀρχαῖον, ξένοις ἤθεσι, δι' ὧν Χριστῷ ὡμοιώθης, φιλοῦντι ταπείνωσιν.

Δόξα, καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Παρθένε Μαριάμ, ταπεινώσεως Μήτηρ, ταπείνωσιν ὀρθήν, τῷ νοΐ μου χορήγει, ἐνθέρμοις πρεσβείαις σου, πρὸς Υἱόν σου καὶ Κύριον, Ὅς ἀνείληφεν, ἀνυπερήφανον σάρκα, καὶ κατήργησε, τὸν ὑπερήφανον ὄφιν, φρικτῇ κρυφιότητι.

Μετὰ τὴν β´ στιχολογίαν, Κάθισμα. Ἦχος δ´.
Ταχὺ προκατάλαβε.

Σοφῶς ἐκ νεότητος τὰ γεηρὰ παριδών, ποθῶν δὲ τὰ μένοντα, σταυρόν Κυρίου λαβών. Αὐτῷ συνεσταύρωσαι, πάσας δὲ ἐξασκήσας ἀρετὰς θεῖε Πάτερ, στέφανον μαρτυρίου περιβέβλησαι δόξῃ, εἰς καύχημα ἔνθεον τῶν εὐφημούντων σε.

Δόξα, καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Τὸ μύρον σκευάσασα τὸ νοητὸν τὸν Χριστόν, Αὐτὸν δίδου Δέσποινα τοῖς αἰτουμένοις πιστῶς, μυρίζουσα ἅπαντα, μέλη ἠχρειωμένα, τῶν ψυχῶν καὶ σωμάτων, ἵνα ὀπίσω Τούτου, ἐφεπόμενοι ὦμεν, καὶ σύσκηνοι Αὐτῷ εἰς χαράν, τὴν ἐπουράνιον.

Μετὰ τὸν Πολυέλειον, Κάθισμα, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ὁ χορός, συμμοναστῶν σου ἀθλητά, καθορῶντες τὴν πολλήν, δόξαν ἣν ἔσχες ἐκ Θεοῦ, καὶ τὴν τῶν μύρων ἀένναον χύσιν. Πῶς ἔλεγον σοφῶς, ἐχθρὸν διέλαθες, μωρίᾳ τῇ πλαστῇ καὶ ἐξενεύρισας, τούτου τὴν δύναμιν Πάτερ τὴν ψυχοφθόρον; Διὸ βοῶντες, δόξαν προσῆγον, τῷ Τρισαγίῳ Θεῷ ἡμῶν.

Δόξα καὶ νῦν, Θεοτοκίον, Ὅμοιον.

Ἐξιστᾷ τὸν λογισμόν, ἡ ἐνανθρώπησις Ἁγνή, τοῦ Υἱοῦ σου καὶ Θεοῦ, πῶς ἐσαρκώθη θαυμαστῶς, καὶ συνανύψωσε φύσιν πεσοῦσαν, Αὐτοῦ δὲ τὴν φρικτήν, οἰκονομίαν πολλοί, μιμούμενοι θερμῶς, ὀπίσω ἔδραμον, τῆς ταπεινώσεως ἔνδυμα φορέσαντες, καὶ τὰς παγίδας φυγόντες, τοῦ διαβόλου, τὸ ὑπὲρ φύσιν, ὡς κατὰ φύσιν ἐβίωσαν

Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου, Ἐκ νεότητός μου...
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου· ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.
Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...
Εὐαγγέλιον, ὁσιακόν. Βλέπε τῇ ε΄ Δεκεμβρίου εἰς τὸν Ὄρθρον.
Ὁ Ν΄, Ἐλέησόν με ὁ Θεός...
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...

Ὡς τοῦ Χριστοῦ ἀράμενος πιστῶς, τὸ ἐλαφρὸν φορτίον Πάτερ Νικόδημε, ἀπόλαυε νῦν παρ' Αὐτοῦ τὸ τῆς ἐργασίας σου δηνάριον. Σὺ μὲν θλίψεις καὶ χλεύην καὶ μυκτηρισμοὺς ἐνταῦθα

ὑπήνεγκας, Οὗτος δὲ χαρὰν καὶ ἔπαινον καὶ στέφανον ὑπομονῆς ἐν οὐρανοῖς σοι χαρίζεται. Μὴ ἐπιλάθῃ οὖν καὶ ἡμῶν τῶν τιμώντων σου τὴν μνήμην τρισόλβιε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου... καὶ οἱ Κανόνες, πρῶτον τῆς Θεοτόκου, εἶτα ὁ παρών, οὗ ἡ ἀκροστιχίς: «Φιλοκαλῶ Νικόδημον, ἀγάπης ξένον θῦμα».

Ἦχος δ΄.
ᾨδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.

Φωτὸς θείου μέτοχε, πάτερ Νικόδημε δέομαι, ψυχὴν καὶ διάνοιαν, εὐχαῖς σου φώτισον, ὅπως πόθῳ σοι, φιλοκαλήσω αἶνον, καὶ πᾶσι κηρύξω σου, βίον τὸν ἔκλαμπρον.

Ἰθύνας τὸν βίον σου, τοῖς τοῦ Κυρίου προστάγμασι, καὶ πλοῦτον καὶ γένους τε τὴν περιφάνειαν, καὶ πατρίδος σου, ἠλόγησας θεόφρον, Χριστὸν μόνον ἔχων σου, πόθον καὶ εὕρημα.

Λαμπρὸς οἶκος δέδειξαι, τῇ σῇ ἀσκήσει Νικόδημε, καθάρας τὸ ὄμμα σου, τῇ τῶν δακρύων ῥοῇ, τῇ νηστείᾳ δέ, ζωώσας τὴν ψυχήν σου, εὐχῇ τε ἠνδρείωσας, τὸ θεοπάρεδρον.

Θεοτοκίον

Ὁ τόκος σου Πάναγνε, τοὺς πεπτωκότας ἠνώρθωσε, καὶ φύσιν ἀνθρώπειον, ὑπερετίμησε, δι᾿ ἀνέκφραστον, Αὐτοῦ φιλανθρωπίαν, γενόμενος ἄνθρωπος, ὁ φύσει ἄϋλος.

Κανὼν ἕτερος. Ποίημα Πορφυρίου μοναχοῦ
Ἦχος πλ. α΄. Τῷ σωτῆρι Θεῷ.

Σὴν φαιδρὰν ἑορτήν, μέλλοντα νῦν ἐξυμνεῖν, Πάτερ παμμάκαρ καθοδήγησον, ἵνα τοῦ βίου σου κάλλος μιμούμενος, σὺν σοὶ καὶ σωθήσομαι, θεῖε Νικόδημε.

Ὕμνους Πάτερ σοφέ, ἄρχομαι πλέκειν πρὸς σέ, τὸ τῆς Βερροίας θεῖον βλάστημα, ἥν περ φυλάττοις, ἀπήμαντον, εὐχαῖς ταῖς

ἁγίαις σου, μάκαρ Νικόδημε.

Νέος ὤφθης ἀστήρ, τῇ βιοτῇ δὲ σαλός, ἔνδον φυλάττων σου τὸν ἔρωτα, τὸν τοῦ Χριστοῦ ᾯ ἠκολούθηκας, ὀπίσω ἁλλόμενος, πάτερ Νικόδημε.

Θεοτοκίον

Ἄνθος νέον Ἁγνή, εὐωδιάζον ψυχάς, καὶ τοῦ Υἱοῦ σου δοῦλος γνήσιος, νῦν ἀνυμνεῖται Νικόδημος, σαλὸς θείῳ ἔρωτι, περιφερόμενος.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Καιρὸν θεωρήσας πάντα βίου, εὐπρόσδεκτον Πάτερ πρὸς ζωῆς, τῆς οὐρανίου ὤνησιν, σαυτὸν Χριστῷ ἐπώλησας, ὑπακοῇ τῇ κρείττονι, καὶ θαυμαστῇ κρυφιότητι.

Ἀκτήμων ὁ πρώην πολυκτήμων, τὴν ξένην κατέλαβες Θεῷ, ἀρέσκειν προελόμενος, Νικόδημε μακάριε, εἰ καὶ τὸ σῶμα ἔφερες, ἔσχες ἰσάγγελον βίωσιν.

Λεόντων συνέθλασας τὰς μύλας, εὐτέχνως καὶ πάνυ θαυμαστῶς, τὰς χεῖρας σου πρὸς πόλεμον, τὸν νοητὸν κατέμαθες, αἴρειν καὶ παρατάσεσθαι, νικητικῶς πρὸς ἀντίπαλον.

Θεοτοκίον

Ὡς Κόρη ὁ ἄχραντος Υἱός σου, ἐχθρὸν ἐφενάκισε τῷ σώματι, τοῦτον καταβαλόμενος, ὑπόδειγμα ἐγένετο, τοῖς ὅσοι πρὸς ἀσώματον, μετὰ πηλοῦ ἀντιμάχονται.

Ἕτερος. Δυνάμει τοῦ Σταυροῦ στου.

Δυνάμει τοῦ Σταυροῦ τοῦ Χριστοῦ, ὅς περ μωρία νενόμισται, μωρὸς τὸν βίον διέλαθες, πάτερ Νικόδημε.

Ω̃! πῶς τὰς ἡδονὰς τῆς σαρκός, πάτερ ἐμφρόνως ἀπενέκρωσας, καὶ χαμαιτύπων γυναίων ἠνώρθωσας, τὰ ἤθη Νικόδημε.

Ἀθροίσθητε Βερροίας υἱοί, καὶ Νικοδήμου τῷ βίῳ τρυφήσατε, καὶ συνετίσθητε τοῖς θείοις παλαίσμασιν, ἁγνείαν μιμούμενοι καὶ τὴν ταπείνωσιν.

Θεοτοκίον

Νεάζω ἡλικίᾳ Ἁγνή, δός μοι ἁγνείαν καρτερίαν καὶ σύνεσιν, ἵνα παθῶν γαληνεύουσα κύματα, εἰς ὅρμον εἰσάξῃς με καὶ λιμένα εὔδιον.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Ἔχει Βέρροια, καύχημα μέγα, τὴν σὴν γέννησιν, Πάτερ θεόφρον, Θεσσαλονίκη δὲ αὐχοῦσα προσβάλλεται, τοὺς σοὺς ἀγῶνας καὶ τὸ τέλος πανόσιε, ἡ Ἐκκλησία τε τοῦ μύρου τὰ θαύματα. Νίκη πέφυκας, Νικόδημε κατ' ἀλάστορος, χαρὰ δὲ τῶν τιμώντων τὴν μνήμην σου.

Δόξα καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Ἔχει Δέσποινα, ἡ Ἐκκλησία, τὸν μυρίανδρον, δῆμον Ἁγίων, ὥσπερ καρπὸν τῆς σῆς λοχείας ὑπέρτιμον, ἡ δὲ ψυχή μου θαυμαστὴν ἀγαλλίασιν, καὶ εὐτονίας φιλοθέου παράκλησιν, ὅτι κέκτηται μεσίτας πρὸς τὸν Φιλάνθρωπον, σὺν Σοὶ ὅσους ἐπέγνωκε χάριτι.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Νεαζούσας τὰς δυνάμεις, τῆς ψυχῆς ἀπεδείκνυες, ταῖς πρὸς τὸν Δεσπότην, θείαις καὶ ἀπαύστοις δεήσεσι, καὶ εὐπετῶς καθ' ἑκάστην καθικνούμενος, τῇ συντόνῳ τε καὶ φιλοθέῳ μελέτῃ σου.

Ἱερὰν ὥσπερ εἰκόνα, τοῦ Χριστοῦ διεφύλαξας, Πάτερ τὴν ψυχήν σου, λάμπουσαν τοῖς θείοις χαρίσματι, καὶ ἀλωβήτως τηρήσας τὸ ἀξίωμα, καθ' ὁμοίωσιν, τοῦ σοῦ Δεσπότου ἐβάδισας.

Κλίσει Πάτερ τῶν γονάτων, προσωμίλεις τῷ κτίσαντι, καὶ τοῖς κρεμαστῆρσι, σμῆνος χαρισμάτων ἐτρύγησας, ἅπερ ὡς σίμβλῳ κρυφίως ἐταμίευες, τῇ καρδίᾳ σου, ἐν ᾗ Θεὸν κατεβίβαζες.

Θεοτοκίον

Οὐδενὶ καθάπερ ἄλλῳ. ἱλεοῦται Πανάμωμε, ὥσπερ ταπεινώσει, ὁ ταπεινωθεὶς ἄκρα Κύριος, διὸ καὶ πλοῦτον δωρεῖται τὸν τοῦ πνεύματος, τοῖς ταπείνωσιν, ἐν συναισθήσει κατέχουσι,

Ἄλλος. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Ἰχῶρες τοῦ σοῦ σκήνους τρισόλβιε, εἰς μύρου οὐσίαν μετημείφθησαν, τοῦ δοῦναι γνῶσιν τῷ λαῷ τοῦ Θεοῦ, ὅτι Πνεύματος ὤφθης θεῖον σκήνωμα.

Κυκλοῦμεν θυμηδίας πολλῆς, τὴν σὴν εἰκόνα πληρούμενοι, καὶ ταύτην κατασπαζόμεθα, εἰς σωτηρίαν Νικόδημε, καὶ παθῶν ἀπολύτρωσιν.

Ὁ ἔρως τῆς ψυχῆς σου σοφέ, κῆπον κατέστησεν, ἐσφραγισμένον τὴν καρδίαν σου, ἕως θανάτου ὅτι νῦν, εὐωδίας πληροῖς τοὺς τιμῶντας σε.

Θεοτοκίον

Διάσωσον Παρθένε ἁγνή, ὡς παρρησίαν κεκτημένη τοὺς δούλους σου, τοῦ σῶσαι γὰρ τὸν λαόν Αὐτοῦ, ὁ Κύριος ἐν σοὶ κατεσκήνωσεν.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Δαιμόνων τὰ ἔνεδρα, σοφῶς Πάτερ διέφυγες, χλεύῃ καὶ ὀνείρῳ παρεικάσας, φλοίσβῳ θαλάσσης πάντα τὰ πρόσκαιρα, ζωὴν καὶ πνοήν σου ἀτεχνῶς, τοῦτο λογιζόμενος, ἀρετὴν ἀποκτήσασθαι.

Ἡ χάρις τοῦ Πνεύματος, σαφῶς Πάτερ ὡδήγει σε, ἀπὸ ἀναβάσεως εἰς δόξαν, αὕτη σε αὖθις, καθυπηγόρευσε, δοῦναι σεαυτὸν ὑποταγῇ, κοινοβίου ἅψασθαι, στερροτέρας ἀθλήσεως.

Μωράνας ἐμώρανας, ἐν Φιλοκάλλους Ὅσιε, τὸν ἐφευρέτην τῆς πονηρίας, ἐν ταῖς σοφαῖς σου καὶ φαινομέναις μωραῖς, πράξεσι Νικόδημε διό, πάντοθεν πλυνόμενος, μώμους Πάτερ ὑπέμεινας.

Θεοτοκίον

Ὁ Κτίστης Μητρόθεε, σάρκα λαβὼν ὑπέδειξε, τρόπους ἡμῖν πλείστους σωτηρίας, οὓς περαιῶσαι, ἔστιν ἀδύνατον, ἄνευθεν πολλῆς ὑπομονῆς, καὶ ἐγκαρτερήσεως, ἃς εὐχαῖς σου μοι δώρησαι.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Ἡ θήκη τῶν λειψάνων σου θαυματόβρυτος γέγονε, καὶ ὁ ναός σου ἰατρεῖον ἄμισθον, τοῖς προσιοῦσι σοι.

Μαρτύρων ἰσοστάσιος Ὅσιε, ξίφει σφαγείς, τῷ Χριστῷ ἀναδέδειξαι, παρ' Οὗ καὶ μύρῳ τετίμησαι.

Ὢ! πόσης ἀγνωσίας ἐπλήσθησαν συμμονασταί, μὴ εἰδότες σου πάγκαλε, ἠθῶν τὴν καθαρότητα.

Θεοτοκίον

Σαλὸς ὁμοῦ καὶ μάρτυς καὶ ὅσιος, σὸς ἐραστής, ὀπίσω γὰρ τοῦ κάλλους σου, Παρθένε προσέδραμε.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠδὴ στ´ Τὴν θείαν ταύτην.

Νοΐ Χριστῷ συγγινόμενος, καρδίαν σου τηρῶν παναμόλυντον, Πάτερ διέτριβες, πόρναις ποθῶν ἀπαλλάξασθαι, μιάσματος καὶ δίκης, ταύτας φιλόψυχε.

Ἀδάμας κόπτων προσκόμματα, ἐχθροῦ ἐφάνης Πάτερ Νικόδημε, ἔξω βαλλόμενος, τῆς σῆς Μονῆς ὥσπερ ἄσωτος, ἀρρύπωτον φυλάττων τὴν πολιτείαν σου.

Γνησίως Πάτερ ἐφίλησας, τὸν βίον Βιταλίου τοῦ σώφρονος, ᾧ καθωμοίωσαι, καὶ καθ' ἑκάστην ἐξήγαγες, ψυχὰς ἐξ ἀπωλείας, ὢ! θαῦμα μέγιστον.

Θεοτοκίον

Ἁγνὴ Παρθένε θεόνυμφε, τὸν βίον μου ἁγνῶς περαιώσασθαι, εὐχαῖς σου δώρησαι, καὶ μισοάγνου τὰ σκάνδαλα. τεθῆναι ἐκποδῶν μου, ὥσπερ ἀθύρματα.

Ἄλλος. Μαινομένην κλύδωνι.

Ἅπαν γένος πάντιμε, Βερροιέων νῦν σε προσκυνεῖ, Θεσσαλονίκης ὁμοῦ τε πόλις καὶ λαός, κραυγάζοντες Ὅσιε, τὰ σὰ μύρα ἔκχεον ἡμῖν, πάθη διώκοντα.

Λέλυται Νικόδημε, τῆς σαρκός σου ἡ ἁγνὴ ψυχή, σκηνοῦσα ὡς περιστερά, πλησίον τοῦ Κτίστου σου, τῷ φωτὶ τερπομένη τῆς θεώσεως.

Ὡραϊζομένου σου, Φιλοκάλλους θεῖε φοιτητά, ἀσκητικαῖς ἀγωγαῖς θαυμασταῖς, τὸ σκῆνος τὸ τίμιον, πηγὴν χάριτος ἀνέδειξας.

Θεοτοκίον

Μετέχει Θεομῆτορ καὶ μεταδίδωσι, θεῖον ἀληθῶς χρῆμα ὁ Νικόδημος, τοῦ Υἱοῦ σου τὴν δόξαν τὴν ὑπέρκαλλον καὶ τὴν ὑπὲρ ἔννοιαν.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν τῆς Βερροίας θεῖον γόνον καὶ πολύτιμον
Θεσσαλονίκης δὲ θησαύρισμα ὑπέρλαμπρον
Μυροβλύτην τε τρισμέγιστον Φιλοκάλλους
Ἐγκωμίοις καταστέψωμεν καὶ ᾄσμασιν
Ἐντρυφῶντες τοῖς τοῦ βίου κατορθώμασι
Πόθῳ κράζοντες· Χαῖρε Πάτερ Νικόδημε.

Ὁ Οἶκος

Ἄφθορον ἀγαπήσας πολιτείαν τρισμάκαρ, ἀγγέλων περιβέβλησαι σχῆμα. Καὶ μωρίαν πλαστὴν ἐκλεξάμενος Νικόδημε, ὡς τρόπον ζωῆς καὶ κρυφιότητος, Θεῷ εἰς ἄκρον εὐηρέστησας, διό σοι προσφωνοῦμεν οὕτω·

Χαῖρε Βερροίας κάλλιστον γέννημα.
Χαῖρε Θεσσαλονίκης τερπνότατον καύχημα.
Χαῖρε Μονῆς Φιλοκάλλους ὑπήκοος
Χαῖρε γυναίων αἰσχρῶν ῥύστης φιλάνθρωπος.
Χαῖρε ὁ τὴν μωρίαν τοῦ Σταυροῦ ἀγαπήσας
Χαῖρε ὁ τὴν εἰκόνα τοῦ Θεοῦ ὑπερτιμήσας.
Χαῖρε Μυροβλύτου Δημητρίου ὁμότιμε
Χαῖρε Βιταλίου παλαιοῦ μιμητὰ τιμιώτατε.
Χαῖρε ψυχὰς ἐζοφωμένας ἀπομελανώσας
Χαῖρε ὁ τὴν ἐσχάτην ταπείνωσιν θεοφιλῶς βιώσας.
Χαῖρε θαυμάτων ὑπερφυῶν ἐργαστήριον
Χαῖρε τῶν προσιόντων σοι χαρμόσυνον ἱλαστήριον.

Χαῖρε Πάτερ Νικόδημε.

## Τὸ Συναξάριον

Τῇ 24ῃ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ὁσιομάρτυρος Νικοδήμου τοῦ Βερροιέως, ἀσκήσαντος ἐν τῇ κατὰ τὴν Θεσσαλονίκην Ἱερᾷ Μονῇ τοῦ Φιλοκάλλους καὶ ξίφει τελειωθέντος.

## Στίχοι

Λαθὼν βιώσας ψυχοπύκτα τὸ πρώην
Νῦν ἐμφανῶς δέχου ἐκ Χριστοῦ σου τὰ στέφη.
Θάνε φασγάνῳ Νικόδημος δαιμονοπαίκτης.

Καὶ τὸ Ὑπόμνημα τοῦτο

Νικόδημος, οὗτος ὁ τρισόλβιος Πατήρ, πατρίδα μὲν ἐπίγειον ἔσχε τὴν κατὰ Μακεδονίαν περιφανεστάτην Βέρροιαν, ἀκμάσας ἐν τοῖς χρόνοις τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β΄ τοῦ Παλαιολόγου. Γένους δὲ τυχὼν πλουσίου τε καὶ ἀρχοντικοῦ καὶ παιδείας εὐμοιρήσας οὐ τῆς τυχούσης, πάντα ἀποταξάμενος δι' ἀγάπην Χριστοῦ, ἐκάρη μοναχός. Τόπους πολλοὺς διαμείψας, ὡς φιλήσας ὑπὲρ πᾶσαν ἄλλην ἐργασίαν ἀρετῆς τὸ ἀφιλόδοξόν τε καὶ ἀκενόδοξον καὶ κρύπτειν τὰ ἀσκητικὰ αὐτοῦ παλαίσματα, καταλαμβάνει τὴν κλεινὴν Θεσσαλονίκην. Ἐνταῦθα ὑποτάσσεται εἰς τὴν εὐαγεστάτην Μονὴν τοῦ Σωτῆρος Χριστοῦ, τὴν ἐπιλεγομένην τοῦ Φιλοκάλλους, ἔνθα πᾶσαν σπουδὴν ἀρετὴν ἐπιδεικνὺς ἐθαυμάζετο παρὰ τῶν συμμοναστῶν. Φεύγων δὲ τὸν ἐκ τῆς κενοδοξίας ψυχοφθόρον ἔπαινον, προσεποιεῖτο πλαστὴν μωρίαν καὶ συνδιατρίβων πόρναις γυναιξί, κατέπειθε ταύτας, ὡς ὁ παλαιὸς ὅσιος Βιτάλιος, ἀπέχειν τῆς μυσαρᾶς ἐργασίας τῆς ἁμαρτίας καὶ διὰ τῆς μετανοίας ἀκολουθεῖν τὴν ὁδὸν τοῦ ἁγιασμοῦ. Τὴν τοιαύτην διαγωγὴν μὴ κατανοοῦντες οἱ συμμονασταὶ αὐτοῦ κατέπλυνον τοῦτον σκώμμασι καὶ ὕβρεσι πολλαῖς. Φιλόπορνοι δὲ καὶ συμπεπλεγμένοι ταῖς ἡδοναῖς τῆς σαρκὸς ἄνδρες, ἢ μᾶλλον εἰπεῖν ἀνδράποδα, μαχαίρᾳ τὸν Ὅσιον κατέσφαξαν, οἰόμενοι τοῦτον ὁμοιοπράττην καὶ ἀντίζηλον αὐτῶν. Ἀτίμου ταφῆς δὲ τυχὼν ὡς ἐκ τούτου ὁ τρισόλβιος Νικόδημος, μετὰ καιρὸν ἐδοξάσθη παρὰ Θεοῦ τῇ ἐκβλύσει ἀπὸ τοῦ τάφου ἀκενώτου μύρου, διὸ καὶ ἀνακομισθέντος μετὰ πολλῆς τῆς

ἐκκλησιαστικῆς εὐδοξίας καὶ παρατάξεως τοῦ τιμίου σκήνους αὐτοῦ, μετηνέχθη εἰς τὴν Ἱερὰν αὐτοῦ μετάνοιαν, ἔνθα ἰατρεῖον ἐδείχθη πολλοῖς ψυχῶν τε καὶ σωμάτων. Τὰ κατὰ τὸν ὅσιον τοῦτον ἄνδρα ὑπομνηματίσας λόγῳ κομψῷ ὁ καθηγούμενος τῆς Ἱερᾶς Μονῆς Φιλοκάλλους καὶ εἶτα Οἰκουμενικὸς Πατριάρχης Φιλόθεος ὁ Κόκκινος παρέδωκε εἰς μνημόσυνον αἰώνιον. Πλὴν ὅμως διὰ τὰς ἱστορικὰς περιστάσεις ὅ τε τάφος καὶ ἡ Μονὴ τοῦ Ἁγίου σὺν τῇ μνήμῃ αὐτοῦ ἐκαλύφθησαν τῇ λήθῃ. Θείᾳ δὲ νεύσει ὁ νῦν οἰακοστρόφος τῆς τῶν Βερροιέων Ἐκκλησίας Σεβ. κ. Παῦλος, ἐπανεσυστήσατο καὶ αὖθις τὴν τοῦ ἁγίου Ὁσιομάρτυρος πανήγυριν.

Ταῖς τοῦ σοῦ Ὁσίου καὶ πάντων τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν

Πορευόμενος, ὁδοὺς τὰς τοῦ Κυρίου σου, ἐν κρυφιότητι, γυναίοις ἁμαρτωλοῖς, ὡς ἄλλος ἁγνότατος καὶ καθαρὸς Ἰωσήφ, Σῖτον ἄφθαρτον, καὶ ἀληθῆ διένειμες, Ἰησοῦν τὸν ζωοδότην.

Φιλάνθρωπος, ἀριστερά σου Ὅσιε, οὐκ ἐπεγίνωσκε, τῆς δεξιᾶς ἀρετήν, ποθοῦντος ἐργάζεσθαι τὰς τοῦ Θεοῦ, Ὅς ἠξίωσε, μαρτυρικῆς Νικόδημε, τελειώσεώς σε ξίφει.

Συμπεπόρευσαι, ἐργάταις ταπεινώσεως, κριτὴς ἀμείλικτος, κατὰ σαὐτοῦ γεγονώς, διὸ καὶ ἀπήτησας ταφῆναι Ὅσιε, ὥς περ ἔκτρωμα, μακρὰν τῆς μετανοίας σου, ὁ δοξάσας εἶτα ταύτην.

Θεοτοκίον

Ξένον ἄκουσμα, Παρθένε Παμμακάριστε! ὅσοι πελάζουσι, Θεῷ διὰ τῆς κρυπτῆς. ἀσκήσεως ἔχουσιν ἐν ταῖς καρδίαις αὐτῶν, μακρὰν ἵστασθαι, Αὐτοῦ καὶ πόνους τίθενται, πρὸς τοὺς πρώτους αὐτῶν πόνους.

Ἄλλος. Εὐλογητὸς εἶ ὁ Θεός.

Ἐπιστομίζεις αὐχοῦντος τὸ θράσος, καὶ συνετίζεις αὐτοῦ ἀλογίαν, ὦ κραταιότατε πάτερ Νικόδημε.

Λευχειμονῶν παρθενίας χιτῶνι, ὡς ἐν παστάδι νυμφικῶς ἐπαγάλλῃ, ὁσίων κλέος πάτερ Νικόδημε.

Η Φιλοθέου γραφὴ ἀπεκάλυψε, νῦν θησαυρὸν τοῦ σοῦ βίου παλαίσματα, θεοφιλίας ὑποτύπωσιν, πάτερ Νικόδημε.

Θεοτοκίον

Ἀγαλλομένῳ ποδὶ Θεονύμφευτε, χορεύω χαίρων καὶ εὐφραινόμενος, ὡς δοῦλος σὸς ἔχων πρεσβείαν σου ἄμαχον.

Καταβασία. Οἱ παῖδες εὐσεβείᾳ.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς

Ἔτυχες τῆς ἄνω κληρουχίας, Νικόδημε ξίφει ὡς ὁ δίκαιος, Ἄβελ καὶ ὡς ἄτιμος, ἔξω ἐναπέρριψαι, τῆς σῆς Μονῆς τρισόλβιε, φθόνῳ τοῦ ὄφεως, ὁ Κύριος, ἐτίμησεν ὅμως, εὐωδίᾳ θείᾳ καὶ μύρων σε ἐκπνεύσει.

Νίκη κατὰ φύσεως ἐφάνης, καὶ νόμων φθορᾶς εἰς πεῖσμα δαίμονος, μείνας Πάτερ ἔνσωμος, σῶος καὶ μυρίπνοος, πηγάζων ρεῖθρα ἄφθονα θαυμάτων ἅπασι, τοῖς πίστει τε καὶ πόθῳ τιμῶσι, τὸ σεπτόν σου σκῆνος, εἰς δόξαν Θεοῦ ζῶντος.

Ὅσα τῇ κοιμήσει ἑκουσίως, οὐκ εἴληφας Πάτερ ἀκενόδοξε, νῦν Χριστὸς παρέσχε σοι, θεῖον ὡς ἀντίδωρον, κελεύσει ἀρχιποίμενος, Θεσσαλονίκης κλεινῆς, χερσὶν ἀγαλλομέναις σὸν σκῆνος, ἐνεγκόντος ἔνθα, ἐνέπαιξας τὸν ὄφιν.

Θεοτοκίον

Νέος οὗτος Κόρη μυροβλύτης, Παρθένε Νικόδημος δεδώρηται, θεία τις βεβαίωσις, ὅτι ὅσοι ἄφθορον, ναὸν αὐτῶν τοῦ σώματος. ἐξαγιάζουσι, μεθέξουσι, τοῦ Μύρου τοῦ θείου, τοῦ Χριστοῦ Κυρία, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Σοὶ τῷ παντουργῷ.

Ὑπομείνας σύ, σκώμματα καὶ ὀνείδη, καὶ λοιδορίας καὶ γέγονας, ἀληθῶς ἔσοπτρον καθαρὸν κατὰ Παῦλον, ὅθεν ἐν σοὶ χαίρει ἡ Ἐκκλησία πᾶσα.

Χαῖρε εὐωδέστατε καὶ εὐανθέστατε κῆπε, παντοίας ἀρετῆς σύγκρασις, ὁσίων καύχημα, πλήρωμα γὰρ πάσης ἀγάπης πρὸς τὸν πέλας, Πνεύματός τε θείου Νικόδημε δοχεῖον.

Ὡς περιστερὰ καθαρωτάτη Πάτερ, ἀκέραιος ἔμεινας οὐ μὴν καὶ φρόνιμος, ἀλλ᾽ ὁ πονηρὸς μὴ φέρων σου τὸ κάλλος, πονηρᾷ σφαγῇ σε, ἐπτέρνισε προσκαίρως.

Θεοτοκίον

Νεῦσον πρὸς ἡμᾶς, Παρθενομῆτορ Κόρη, παθῶν τὴν σκοτόμαιναν αὐγαῖς σου λύουσα, ἵνα βοῶμεν ἀκαταπαύστοις ὕμνοις, καὶ ὑπερυψῶμεν τὸν ἄχραντόν σου Τόκον.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Θρόνον ἐπὶ γῆς, Νικόδημε ἔσχηκας, πάνυ λαμπρὸν ὁ πτωχός, Βασιλεὺς ἀοίδιμος, πολλῷ χρυσίῳ ναὸν ἐδείματο, καὶ ἐν αὐτῷ κατέθετο, τὸ θεῖον σκῆνος σου, ἔνθα Πάτερ, πηγή τις ἀκένωτος καὶ θαυμάτων κρουνὸς ἀναδέδεικται.

Ὕοις ὀχετούς, χαρίτων Νικόδημε ταῖς ἱκεσίαις σου, ὥσπερ τὸν παράλυτον, ἐγείρας Πάτερ, οὕτω με στήριξον, καὶ τὸν ἐκμυκτηρίσαντα σὴν ἁγιότητα, συγχωρήσας καὶ τὴν ἱερόσυλον, συγχωρήσαις κἀμὲ τῇ πρεσβείᾳ σου.

Μένω ἐλλιπής! ὡς ψάμμος θαλάσσιος τὰ κατορθώματα, καὶ τῶν θαυμασίων σου, δυσεξαρίθμητα τὰ τεράστια, ὡς γὰρ ψηφῖδας εἴληφα, τινὰ τοῦ βίου σου, καὶ τολμήσας, τοῦτο σοι προσέρραψα, ἀκαλλώπιστον Πάτερ ὑμνῴδημα.

Θεοτοκίον

Ἄνασσα Ἁγνή, συμπρέσβεις παράλαβε τὸν σὸν Νικόδημον, καὶ τὴν ἀπειράριθμον, πληθὺν Ἁγίων τε καὶ Δυνάμεων, ἀγγελικῶν τὰ τάγματα καὶ μίαν στήσαντες, ἱκεσίαν ἐκτενῶς πρεσβεύσατε, ἵνα λάβωμεν ἄμετρον ἔλεος.

Ἄλλος. Ἠσαΐα χόρευε.

Πάτερ πανσεβάσμιε, τὴν σὴν μνήμην ἄγει ἐν χαρᾷ, ὁ δῆμος ὁ ἐκλεκτός καὶ πανευσεβής, τῆς σῆς ἀξιάγαστε, γεννησάσης καὶ συνεκβοᾷ, νίκησον Ὅσιε, πονηρῶν τὰ μηχανεύματα.

Ρήγματα κατέκρυψαν, τὸ σὸν σῶμα τὸ ἀθλητικόν, Μονῆς σου μακαριστὲ οἱ συμφοιτηταί, σαλός γὰρ νενόμισαι, καὶ ὡς πόρνος καὶ πανασελγής, ἀλλὰ ὁ Κύριος, σὲ Νικόδημε ἐδόξασε.

Φόρον πολυχρόνιον, ἀποτίει νῦν ἡ σὴ πατρίς, Νικόδημε θαυμαστέ, καὶ σὴν ἑορτήν, ἐν ὕμνοις γεραίρουσα, θεοφρόνως σοὶ ἀναβοᾷ, λύτρωσαι θλίψεων, τοὺς τιμῶντας σε πανόσιε.

Θεοτοκίον

Σὲ νῦν λιτανεύοντες, Θεημῆτορ Κόρη Μαριάμ. κραυγάζομεν ἐκ ψυχῆς, δέχου παρ' ἡμῶν, ἐφύμνιον ἄμουσον, τῆς καρδίας φαῖνον τὰς οὐλάς, ἃς σὺ ἐπούλωσον, καὶ καταύγασον τῷ τόκῳ σου.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαποστειλάριον. Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Νικόδημε τρισόλβιε, ἀρετῆς θεῖος οἶκος, καὶ οὐρανὸς πολύαστρος, ὤφθης ἀγάπης ἄχρι, ἠλόγησας τῶν προσκαίρων, καὶ Χριστὸν μόνον ἦρας, ἔμφρων μωρὸς γενόμενος, ἵνα πάγας τοῦ πλάνου διαφυγών, φθάσῃς εἰς κατάπαυσιν Βασιλείας, δι' ἣν σοφῶς ἐνήθλησας, συνειδήσει καὶ ξίφει.

Ἕτερον. Ἦχος γ΄. Ὁ οὐρανὸς τοῖς ἄστροις.

Ἐπὶ τῇ μνήμῃ σου Πάτερ, ἡ Βέρροια ἐγκαυχᾶται, καὶ μυριπνόοις σου ῥείθροις, ἀρδευομένη βοᾷ σοι, Θεσσαλονίκη μὴ παύσῃ, ὑπὲρ σῶν δούλων πρεσβεύειν.

Θεοτοκίον. Τῆς ἑορτῆς

Γυναῖκες ἀκουτίσθητε.

Ἣν πάλαι προκατήγγειλε, τῶν Προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς ἀνευφημήσωμεν· σήμερον γὰρ εἰσάγεται, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ἀνατραφῆναι Κυρίῳ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὢ! τοῦ παραδόξου θαύματος! πόθῳ Χριστοῦ κοσμικούς, λογισμοὺς σβέσας Ὅσιε, Βέρροιαν κατέλιπες, καὶ σαρκὸς ἅπαν φρόνημα, ἐν γνώσει πάσῃ, σταυρὸν ἐπ' ὤμων σου, ἄρας προθύμως ὡς Παῦλος ἔλεγες· κόσμῳ ἐσταύρωμαι, καὶ Χριστῷ συντάσσομαι διὰ πλαστῆς, ἀγωγῆς τὸν δόλιον, ἐχθρὸν συντρῖψαι παθῶν.

Ὢ! τοῦ παραδόξου θαύματος! τῇ ταπεινώσει Χριστοῦ, ὁ θεόφρων Νικόδημος, πάντας ὑπερήλασεν, ὑπὸ κάτω γενόμενος, κτίσεως πάσης, διὰ σαλότητος, σκυλμοῖς καὶ ὕβρει καταπλυνόμενος, καύσει καρδίας τε, πλήθη πρὸς μετάνοιαν ἁμαρτωλῶν, ἤγαγεν ὁ ἔνδοξος, εἰς πεῖσμα δαίμονος.

Ὢ! τοῦ παραδόξου θαύματος! ἵνα ὀφθῇς πληρωτής, τῆς φωνῆς τοῦ Κυρίου σου, ὅτι πάντες γνώσονται, μαθητῶν γνησιότητα, ἐὰν ἀγάπην πλουσίαν ἔξωσιν, ὑπὲρ ἧς σάρκα, κἀγὼ προσείληφα, πλαστήν σαλότητα, ἐπελέξω ἔνδοξε ὡς ὅπλον σόν, δι᾿ ἧς τὸν ἀντίδικον, κατεξωλόθρευσας.

Ὢ! τοῦ παραδόξου θαύματος! σὺ μὲν Θεῷ αἷμα δούς, ἀντιδώρως ἐκέρδησας, ἀφθαρσίαν σκήνους σου, εὐωδίας τε χεύματα, προσέτι χάριν ποιεῖν θαυμάσια, παρέχειν Μύρου τοῦ ὄντως εὕρεσιν, ὅπερ τρισόλβιε, ἐνοικεῖν ἱκέτευε διαπαντός, τοῖς τιμῶσι μνήμην σου, θεῖε Νικόδημε.

Δόξα. Ἦχος πλ. δ΄.

Τῷ νοητῷ ὄρει τῆς ἀπαθείας προσπελάσας πάνυ θαυμαστῶς, ὦ θεοφόρε Νικόδημε, ὅπως τηρήσῃς τὸν πλοῦτον τῶν ἀρετῶν σου ἄσυλον, τὴν ταπείνωσιν περιεζώσω. Καὶ μόνῳ εὐαρεστεῖν τῷ τὰ πάντα ἐτάζοντι, ψυχὰς μεμελανωμένας ἐξήγαγες τῆς νοητῆς Αἰγύπτου ὡς ἄλλος Μωϋσῆς. Πληρώσας δὲ πάντα τὸν Νόμον ἐν τῷ ἀγαπῆσαι τὸν πλησίον σου ὡς σεαυτόν, ξιφοτμηθεὶς ἔφθασας. Ὧπερ ἐρῶν ἐπόθεις καὶ ὑπὲρ Οὗ ἐμπόνως ἐπόνεις. Αὐτῷ νῦν παριστάμενος μυροχεῦμον Ὅσιε, μέμνησο τῶν τιμώντων τὴν μνήμην καὶ τὰ μεγαλεῖα σου.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.
Εἰς τὴν Λειτουργίαν.

Ἀπόστολον ζήτει τὸν τῆς α΄ Νοεμβρίου. Εὐαγγέλιον δὲ τὸ τῆς ιζ΄ Ἰανουαρίου, ἐν τῷ Μηνολογίῳ. Κοινωνικόν. Εἰς μνημόσυνον.

## Μεγαλυνάρια.

Τῆς Βερροίας ἄνθος θεοειδές, καὶ τῆς Φιλοκάλλους, ἐγκαλλώπισμα τὸ τερπνόν, Νικόδημον μέγαν, φιλανθρωπίας οἶκον, τιμήσωμεν ἐν ὕμνοις, πάντες φιλέορτοι.

Τὸν τῆς σωφροσύνης μέγαν πυρσόν, θείας τε ἀγάπης, ἀκριβέστατον πληρωτὴν καὶ φιλανθρωπίας, ἐργάτην Θεοφόρον, Νικόδημον ἐκ πόθου, ἐγκωμιάσωμεν.

## Στίχοι

Μνήσθητι Ἀρχιποίμενος πόλεως ἐνεγκούσης
Παύλου ἐν ὥρᾳ, Ὅσιε, κρίσεως τῆς μελλούσης.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## εἰς τὸν Ὅσιον καὶ Θεοφόρον πατέρα ἡμῶν

# ΝΙΚΟΔΗΜΟΝ

## τὸν Βερροιαῖον,
## τὸν σαλὸν καὶ Μυροβλύτην ἀναδειχθέντα.

Μετὰ τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ἀναγινώσκεται ὁ ΡΜΒ´ (142) ψαλμὸς ὑπὸ τοῦ ἀναγνώστου.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.
Καὶ εὐθύς· ἦχος δ´ Θεὸς Κύριος (τετράκις).

Εἶτα δέ· τὰ παρόντα τροπάρια·
ἦχος δ´ Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Νικοδήμου τὴν εἰκόνα προθύμως
περικυκλοῦντες Βερροιέων ὁ δῆμος,
κατασπαζόμεθα αὐτὴν καὶ προσαιτούμεθα·
Πάτερ θεοδόξαστε, ὡς Μυροβλύτης παράσχου,
μύρα τῶν ἰάσεων καὶ παθῶν τρικυμίας
τοὺς προσιόντας πόθῳ νῦν, σοφέ,
πάτερ θεόφρον, ἀπάλλαξον τάχιον.

Δόξα, ὁ αὐτὸς

Ἀναλαβών, πάτερ σοφὲ διὰ βίου,
σαλοῦ ἀγῶνα, νουνεχῶς ἐναθλήσας,
στέφος τριπλοῦν παρέλαβες, παρὰ Χριστοῦ
ὥσπερ μάρτυς, καὶ ὁσίων καύχημα
καὶ Μυροβλύτης ἐδείχθης.
Διὸ καὶ χάριν ἔχεις πρὸς Χριστὸν
τοῦ ἰατρεύειν νοσήματα δούλων σου.

Καὶ νῦν, ὁ αὐτὸς

Οὐ σιωπήσομέν ποτε Θεοτόκε.

Εἶτα ὁ Ψαλμὸς Ν΄ (50)

Ἐλέησόν με ὁ Θεός.

Ὁ κανὼν εἰς ἦχον πλ. δ΄, οὗ ἡ ἀκροστιχίς· Πλέκω Νικοδήμῳ ᾠδὰς ἱκεσίας θεοσδέκτους Π.ρ.φ.ς (πορφύριος)

Ὠδὴ α΄. Ὁ Εἱρμὸς

Υ«Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν».

Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παθῶν μου αἰτοῦμαι ἀπαλλαγήν, προσπίπτων δεόντως τῇ εἰκόνι σου τῇ σεπτῇ, Νικόδημε πάτερ Μυροβλῦτα, ὁσιομάρτυς μεγαλόδωρε.

Ὅσιε τοῦ Θεοῦ...

Λῦσον τῶν πταισμάτων μου τὰς σειράς, ἃς μακροχρονίως πλέκω μάκαρ ἀναισθητῶν, τῇ ζάλῃ τοῦ βίου προσπαλαίων, ὁσιομάρτυς θεόφρον Νικόδημε.

Δόξα Πατρί.

Ἔλεος καὶ χάριν ὡς δωρεάν, κατάπεμψον, πάτερ, τοῖς τιμῶσι σὴν ἑορτήν· παράσχου δὲ ἄφθονον τοῖς πᾶσι τὴν ἰατρείαν παθῶν, θεοδόξαστε.

Θεοτοκίον. Καὶ νῦν

Κυρία Παρθένε υἱοπρεπῶς, σοὶ κράζω ἐκ βάθους τῆς καρδίας μου τὰς οὐλάς, ἰάτρευσον, Κόρη, τὸν Σωτῆρα ἀποτεκοῦσα τοῦ κόσμου τὴν λύτρωσιν.

Ὠδὴ γ΄. Ὁ εἱρμὸς

Ο »ὐρανίας Ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ σὺ με στερέωσον ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε».

Ὅσιε τοῦ Θεοῦ

Ὦ τρισόλβιε πάτερ, τῶν μελῶν μου τὴν πάρεσιν σύσφιγξον, καὶ τὰς ψυχικάς μου μοτώσεις πάτερ εὐρύθμισμον, ἵνα δοξάζω σε ὡς ἄμισθόν μου προστάτην, ἰατρὸν θεόσδοτον καὶ χαριτόβρυτον.

Ὅσιε τοῦ Θεοῦ

Νεαρᾷ ἡλικίᾳ ἀναλαβὼν ὅσιε, τὸν γλυκὺν ἐπ᾽ ὤμων Κυρίου σταυρὸν τρισόλβιε, παῦσον τὸν τάραχον τῶν λογισμῶν μου καὶ ζάλην ἁμαρτίας πάνσοφε πάτερ εἰρήνευσον.

Δόξα Πατρί

Ἰδοὺ πάτερ προσπίπτων γονυκλιτῶς κράζω σοι, πρόφθασον θερμῇ σου δεήσει πρὸς τὸν Φιλάνθρωπον, καὶ ἀνακούφισον τὴν τεθλιμμένην καρδίαν, τοῦ σοῦ δούλου, Ὅσιε ἵνα δοξάζωσε.

Καὶ νῦν. Θεοτοκίον.

Κυριώνυμε Κόρη, καταφυγὴ ἄμισθος, κόπασον τὸν τάραχον Μῆτερ τῶν ἀοράτων ἐχθρῶν καὶ ἐλευθέρωσον ἐξ ἐπηρείας δαιμόνων, τοὺς σοὶ καταφεύγοντας, μόνη Κυρία μου.

Διάσωσον ἀπὸ βασάνων τοὺς δούλους σου, θεοφόρε, ὅτι ἔχεις πρὸς τὸν Χριστὸν παρρησίαν ὡς γνήσιος, φίλος αὐτοῦ καὶ θερμὸς ἡμῶν προστάτης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμήν, τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα ὁ ἱερεὺς μνημονεύει. Καὶ εὐθύς· Τὸ κάθισμα.
Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβείαν τὴν σὴν καὶ τεῖχος τὰς δεήσεις σου, κατέχοντες νῦν, Νικόδημε θεόσοφε, ἐκτενῶς προσπίπτομεν, Θεοφόρε τάχυνον, καὶ ἐκ παντοίων λύτρωσαι ἡμᾶς, παθῶν καὶ σωμάτων, ἰατρείαν πάτερ δώρησαι.

Ὠδὴ δ΄ ὁ Εἱρμός

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον· κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὅσιε τοῦ Θεοῦ...

Ὅπως πάλαι συνέσφιγξας μέλη Γεωργίου Νικόδημε, οὕτω ρύθμισον τρισόλβιε πάτερ τῆς σαρκός μου τὰ κινήματα.

Ὅσιε τοῦ Θεοῦ.

Δῆμον ὤλεσας ἄριστε, πονηρῶν δαιμόνων διὰ τοῦ πάθους σου. Τὴν ψυχήν μου δὲ ἀπάλλαξον, πονηρῶν κινήσεων, Νικόδημε.

Δόξα.

Ἡμῖν δώρησαι πάντιμε, τοῖς σὲ λιτανεύουσι τὰ αἰτήματα, τῇ Τριάδι παριστάμενος καὶ πρεσβεύων ἀξιάγαστε.

Καὶ νῦν...

Μηχανὰς πολεμήτορος, Πάναγνε διάλυσον σπεύδουσα, καὶ κινδύνων ἐλευθέρωσον ἐκτελοῦντας μνήμην τοῦ Ὁσίου σου.

Ὠδὴ ε΄ ὁ Εἱρμός·

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ τὴν σὴν εἰρήνην παράσχου ἡμῖν, Φιλάνθρωπε».

Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ πῶς γυναικός, τὴν κλοπὴν ὀδόντος ἐκδικῆσαι καὶ τοῦ πάθους αὐτὴν πῶς ἰατρεύεις, ἐπιστραφεῖσαν τῷ σῷ σκήνει θεοφόρε.

Ὅσιε τοῦ Θεοῦ...

Ὢ τῶν ὑπὲρ νοῦν, θαυμασίων σου Νικόδημε, ἀπιστοῦντα πῶς διήλεγξας, τοῦ μαρτυρῆσαι τὴν χάριν σου θεόφρων.

Δόξα·

Δέξαι παρ' ἡμῶν ἱκεσίας τῶν τιμώντων σε καὶ τὴν εἰκόνα προσκυνούντων τὴν σήν, καὶ τὰς αἰτήσεις παράσχου τοῖς σοῖς δούλοις.

Καὶ νῦν.

Αὔγασον Ἁγνὴ φωτισμῷ σου τὴν καρδίαν μου, ὡς τεκοῦσα τὸ φῶς τὸ ἀνέσπερον καὶ τὴν ψυχήν μου ἱλάρυνον Παρθένε.

Ὠδὴ στ΄ ὁ Εἱρμὸς

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον καὶ αὐτῷ ἀπαγγελλῶ μου τὰς θλίψεις· ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη καὶ ἡ ζωή μου τῷ ᾅδη προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς. Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε».

Ὅσιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σωτήριον το σὸν πάθος ὅσιε, ἀνεδείχθη γυναιξὶ πλανωμέναις, ὥσπερ σοφῶς νουθετῶν θεοφόρε, ἐν μετανοίᾳ αὐτὰς καθωδήγησας πρὸς τρίβον θείων ἐντολῶν, καὶ λιμένα γαλήνης τρισόλβιε.

Ὅσιε τοῦ Θεοῦ.

Ἱκέτευε τὸν Σωτῆρα ὅσιε, παρρησίαν πρὸς αὐτὸν κεκτημένος, ὅτι καλῶς τὸν ἀγῶνα τελέσας, καὶ παρ᾽ αὐτοῦ τιμηθεὶς ἀξιόθεε, νῦν κέκτησαι τὴν πρὸς αὐτὸν παρρησίαν καὶ θάρρος φιλόκαλον.

Δόξα Πατρί.

Κατεύνασον τῶν παθῶν τὸν τάραχον καὶ εἰρήνην τοῖς σοῖς δούλοις παράσχου· ὅτι καιροῖς χαλεποῖς νῦν βιοῦμεν καὶ οὐκ ἔστιν ἐλπὶς σωτηρίας· ἀλλὰ σὺ δύνασαι σαφῶς, εἰρηνεῦσαι ψυχὰς ἀγαπώντων σε.

Καὶ νῦν...

Εὐθέτησον τὰς ὁδούς μου Πάναγνε καὶ κατεύθυνον εἰς ὁδὸν σωτηρίας· ὅπως θαρρῶν εἰς τὴν σὴν προστασίαν περαιωθῶ εἰς λιμένα ἀκύμαντον, προβάλλων σὲ ὡς ὁδηγὸν καὶ μεσίτριαν θείαν πρὸς Κύριον.

Ἅγιε, ὁ διὰ βίου νεκρώσας πάσας κινήσεις, φθοροποιοὺς τῆς σαρκὸς καὶ τοῦ πνεύματος, δύνασαι νῦν καὶ ἡμᾶς ἐκ παθῶν ἀπαλλάττειν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Καὶ πάλιν Δέησις ὑπὸ τοῦ Ἱερέως.
Καὶ εὐθύς· Κοντάκιον· Ἦχος β΄.

Προστασία κραταιὰ τῆς γεννησάσης σε, μεσιτεία πρὸς Χριστὸν διὰ τοὺς φίλους σου, τοὺς ἐκτελοῦντας τὴν σὴν μνήμην εὐκλεέστατα· ὅθεν πάρεχε ὡς ἀγαθὸς τὴν σὴν βοήθειαν σοφὲ τοῖς πιστῶς νῦν κραυγάζουσι· σπεῦσον ὦ θεοφόρε καὶ τάχυνον σὴν πρεσβείαν ὑπὲρ ἡμῶν τῶν ἱκετῶν καὶ τῆς πατρίδος σου Νικόδημε.

Εἶτα Ἀντίφωνον α΄ ἦχος δ΄.
Ἐκ νεότητός μου· καὶ τὰ ἑξῆς.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ (δὶς)

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Ὁ ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.

Ὁ λαός· Κύριε ἐλέησον (γ΄).

Ὁ ἱερεύς· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ λαός· Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον...

Ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι.

